# 89. THE EPILEPTIC BOY (Matt-Mk Identical)

| Matt 17:14-20 | Mark 9:14-29 |
|---|---|
| *Καὶ ἐλθόντων* | *Καὶ ἐλθόντες* |
| | *πρὸς τοὺς μαθητὰς* |
| *πρὸς τὸν ὄχλον* | *εἶδον ὄχλον πολὺν περὶ αὐτοὺς* |
| | *καὶ γραμματεῖς συζητοῦντας πρὸς αὐτούς. 15 καὶ εὐθὺς πᾶς ὁ ὄχλος ἰδόντες αὐτὸν ἐξεθαμβήθησαν, καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν. 16 καὶ ἐπηρώτησεν αὐτούς, Τί συζητεῖτε πρὸς αὐτούς* |
| *προσῆλθεν αὐτῷ ἄνθρωπος* | *17 καὶ ἀπεκρίθη αὐτῷ εἷς* |
| *γονυπετῶν αὐτὸν 15 καὶ λέγων,* | *ἐκ τοῦ ὄχλου,* |
| *Κύριε, ἐλέησόν* | *Διδάσκαλε, ἤνεγκα* |
| *μου τὸν υἱόν,* | *τὸν υἱόν μου πρὸς σέ,* |
| *ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει·* | *ἔχοντα πνεῦμα ἄλαλον·* |
| | *18 καὶ ὅπου ἐὰν αὐτὸν καταλάβῃ* |
| | *ῥήσσει αὐτόν,* |
| | *καὶ ἀφρίζει καὶ τρίζει τοὺς ὀδόντας καὶ ξηραίνεται·* |
| *πολλάκις γὰρ* | |
| *πίπτει εἰς τὸ πῦρ* | |
| *καὶ πολλάκις εἰς τὸ ὕδωρ.* | |
| *16 καὶ προσήνεγκα αὐτὸν* | *καὶ εἶπα* |
| *τοῖς μαθηταῖς σου,* | *τοῖς μαθηταῖς σου* |
| | *ἵνα αὐτὸ ἐκβάλωσιν,* |
| *καὶ οὐκ ἠδυνήθησαν* | *καὶ οὐκ ἴσχυσαν.* |
| *αὐτὸν θεραπεῦσαι.* | |
| *17 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς* | *19 ὁ δὲ ἀποκριθεὶς αὐτοῖς* |
| *εἶπεν,* | *λέγει,* |
| *Ὦ γενεὰ ἄπιστος* | *Ὦ γενεὰ ἄπιστος,* |
| *καὶ διεστραμμένη,* | |
| *ἕως πότε μεθ ὑμῶν ἔσομαι* | *ἕως πότε πρὸς ὑμᾶς ἔσομαι* |
| *ἕως πότε ἀνέξομαι ὑμῶν* | *ἕως πότε ἀνέξομαι ὑμῶν* |
| *φέρετέ μοι αὐτὸν ὧδε.* | *φέρετε αὐτὸν πρός με.* |

| | |
|---|---|
| | *20 καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν.* |
| | *καὶ ἰδὼν αὐτὸν* |
| | *τὸ πνεῦμα* |
| | *εὐθὺς συνεσπάραξεν αὐτόν,* |
| | *καὶ πεσὼν ἐπὶ τῆς γῆς ἐκυλίετο ἀφρίζων.*<br>*21 καὶ ἐπηρώτησεν τὸν πατέρα αὐτοῦ, Πόσος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ ὁ δὲ εἶπεν, Ἐκ παιδιόθεν·*<br>*22 καὶ πολλάκις καὶ εἰς πῦρ αὐτὸν ἔβαλεν καὶ εἰς ὕδατα ἵνα ἀπολέσῃ αὐτόν· ἀλλ εἴ τι δύνῃ, βοήθησον ἡμῖν σπλαγχνισθεὶς ἐφ ἡμᾶς.*<br>*23 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Τὸ Εἰ δύνῃ, πάντα δυνατὰ τῷ πιστεύοντι.*<br>*24 εὐθὺς κράξας ὁ πατὴρ τοῦ παιδίου ἔλεγεν, Πιστεύω· βοήθει μου τῇ ἀπιστίᾳ.*<br>*25 ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὄχλος* |
| *18 καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς,* | *ἐπετίμησεν τῷ πνεύματι τῷ ἀκαθάρτῳ* |
| | *λέγων αὐτῷ, Τὸ ἄλαλον καὶ κωφὸν πνεῦμα, ἐγὼ ἐπιτάσσω σοι, ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν.* |
| *καὶ ἐξῆλθεν ἀπ αὐτοῦ τὸ δαιμόνιον·* | *26 καὶ κράξας καὶ πολλὰ* |
| | *σπαράξας ἐξῆλθεν·* |
| | *καὶ ἐγένετο ὡσεὶ νεκρός, ὥστε τοὺς πολλοὺς λέγειν ὅτι ἀπέθανεν.* |
| | *27 ὁ δὲ Ἰησοῦς κρατήσας τῆς χειρὸς αὐτοῦ* |
| *καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης.* | *ἤγειρεν αὐτόν, καὶ ἀνέστη.* |
| *19 Τότε προσελθόντες* | *28 καὶ εἰσελθόντος αὐτοῦ εἰς οἶκον* |
| *οἱ μαθηταὶ τῷ Ἰησοῦ* | *οἱ μαθηταὶ αὐτοῦ* |
| *κατ ἰδίαν εἶπον,* | *κατ ἰδίαν ἐπηρώτων αὐτόν,* |
| *Διὰ τί ἡμεῖς οὐκ ἠδυνήθημεν* | *Ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν* |
| *ἐκβαλεῖν αὐτό* | *ἐκβαλεῖν αὐτό* |
| *20 ὁ δὲ λέγει αὐτοῖς,* | |

*Διὰ τὴν ὀλιγοπιστίαν ὑμῶν·*

*ἀμὴν γὰρ λέγω ὑμῖν,*

*ἐὰν ἔχητε πίστιν*

*ὡς κόκκον σινάπεως,*

*ἐρεῖτε τῷ ὄρει τούτῳ,*

*Μετάβα ἔνθεν ἐκεῖ,*

*καὶ μεταβήσεται·*

*καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.*

*29 καὶ εἶπεν αὐτοῖς, Τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν εἰ μὴ ἐν προσευχῇ.*

82 words out of 401 words = 20%